Ακαδημία Αθηνών / Academy of Athens

*ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι, ἀλλὰ μ ό ν ο ς αὐτὸς ἐπ' ἑωυτοῦ ἐστιν... καὶ ἂν ἐκώλυεν αὐτὸν τὰ συμμεμειγμένα, ὥστε μηδενὸς χρήματος κρατεῖν ὁμοίως ὡς καὶ μ ό ν ο ν ἐόντα ἐφ' ἑαυτοῦ* Δημόκριτος 217 *μ ο ῦ ν ο ι θεοφιλέες, ὅσοις ἐχθρὸν τὸ ἀδικέειν* 228.3-5 *οἱ τῶν φειδωλῶν παῖδες ἀμαθέες γινόμενοι, ὥσπερ οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας ὀρούοντες, ἢν ἑνὸς μ ο ύ ν ο υ ⟨μὴ⟩ τύχωσι καταφερόμενοι, ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται (χαλεπὸν δὲ τυχεῖν ἑνός· τὸ γὰρ ἴχνιον μ ο ῦ ν ο ν λέλειπται τῶν ποδῶν)* **2.** Μόνος/μοναδικός, sole/single, Παρμενίδης 2.2 *εἰ δ' ἄγ' ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας, αἵπερ ὁδοὶ μ ο ῦ ν α ι διζήσιός εἰσι νοῆσαι* 8.1 *μ ό ν ο ς δ' ἔτι μῦθος ὁδοῖο λείπεται ὡς ἔστιν* **3.** Μόνος/ὁλομόναχος, alone/all alone, 'Εμπεδοκλῆς 17.1 καὶ 17.16 *τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μ ό ν ο ν εἶναι ἐκ πλεόνων* Δημόκριτος 244 *φαῦλον, κἂν μ ό ν ο ς ᾖς, μήτε λέξῃς μήτ' ἐργάσῃ.* || **μόνον.** Μόνο, only, 'Εμπεδοκλῆς 2.5 *αὐτὸ μ ό ν ο ν πεισθέντες, ὅτῳ προσέκυρσεν ἕκαστος* 8.3 *μ ό ν ο ν μίξις τε διάλλαξίς τε μιγέντων ἔστι* 134.4 *φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μ ο ῦ ν ο ν, φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν* Φιλόλαος 2.3 *ἄπειρα δὲ μ ό ν ο ν ⟨ἢ περαίνοντα μ ό ν ο ν⟩ οὔ κα εἴη* 11.16 *ἴδοις δέ κα οὐ μ ό ν ο ν ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν* 'Αναξαγόρας 4.12 *οὐκ ἂν παρ' ἡμῖν μ ό ν ο ν ἀποκριθείη, ἀλλὰ καὶ ἄλλῃ* Δημόκριτος 68 *δόκιμος ἀνὴρ καὶ ἀδόκιμος οὐκ ἐξ ὧν πράσσει μ ό ν ο ν, ἀλλὰ καὶ ἐξ ὧν βούλεται* 'Αρχύτας 1.29 *οὐ μ ό ν ον δέ κα τούτῳ γνοίημεν.*

**μόριον.** Μόριον/συστατικὸν μέρος, particle/component part, Μέλισσος 9 *εἰ δὲ ἔχοι πάχος, ἔχοι ἂν μ ό ρ ι α, καὶ οὐκέτι ἓν εἴη.* Πρβλ. *μέρος, μοῖρα.*

**μόρος** (συνών. *θάνατος, πότμος,* ἀντίθ. *γέννησις, φύσις*). Μοίρα θανάτου/θάνατος, fate of death/death, 'Ηράκλειτος 20 *γενόμενοι ζώειν ἐθέλουσι μ ό ρ ο υ ς τ' ἔχειν ... καὶ παῖδας καταλείπουσι μ ό ρ ο υ ς γενέσθαι* 25 *μ ό ρ ο ι γὰρ μέζονες μέζονας μοίρας λαγχάνουσι.* Πρβλ. *θνητός, μοῖρα.*

**μορφὴ 1.** Μορφή, form, Παρμενίδης 8.53 *μ ο ρ φ ὰ ς γὰρ κατέθεντο δύο γνώμας ὀνομάζειν* 'Εμπεδοκλῆς 21.2 *εἴ τι καὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἐν προτέροισι λιπόξυλον ἔπλετο μ ο ρ φ ῇ* **2** (συνών. εἶδος, ἰδέα). Μορφή/ὄψη, form/figure, Ἐμπεδοκλῆς 137.1 *μ ο ρ φ ὴ ν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας σφάζει ἐπευχόμενος μέγα νήπιος* **3.** Εἰδικώτερος τύπος, sort, Φιλόλαος 5 *ὅ γα μὰν ἀριθμὸς ἔχει δύο μὲν ἴδια εἴδη, περισσὸν καὶ ἄρτιον ... ἑκατέρω δὲ τῶ εἴδεος πολλαὶ μ ο ρ φ α ί, ἃς ἕκαστον αὐταυτὸ σημαίνει.* Πρβλ. *ῥυθμός.*

**μουνομελής.** Μονομελής, of one member, Ἐμπεδοκλῆς 58 *μ ο υ ν ο μ ε λ ῆ ... τὰ γυῖα ... ἐπλανᾶτο.*

**μοῦνος.** Βλ. **μόνος.**

**Μοῦσα.** Μούσα, Muse, Ἐμπεδοκλῆς 131.1 *ἄμβροτε Μ ο ῦ σ α* Πυθαγόρειοι C 2 (DK I 463,1) *Μ ο υ σ ῶ ν λύραν.*

**μουσική** (τύπ. *μουσικά, μωσικά*). Μουσική, music, Φιλόλαος 11.20 *κατὰ τὰς δημιουργίας τὰς τεχνικὰς πάσας καὶ κατὰ τὰν μ ο υ σ ι κ ὰ ν* Δημόκριτος 144 *μ ο υ σ ι κ ὴ ν ... νεωτέραν εἶναι* 179 *οὔτε γράμματ' ἂν μάθοιεν οὔτε μ ο υ σ ι κ ὴ ν οὔτε ἀγωνίην* Ἀρχύτας 1.8 *οὐχ ἥκιστα περὶ μ ω σ ι κ ᾶ ς* 2 *Περὶ μ ο υ σ ι κ ῆ ς ... μέσαι δέ ἐντι τρῖς τᾷ μ ο υ σ ι κ ᾷ.* || **μουσικά (τά).** Δημόκριτος A 33 (DK II 91,24) *Μ ο υ σ ι κ ὰ* δὲ τάδε.

**μοχθεῖν.** Μοχθῶ/κοπιάζω, toil/work hard, Ἡράκλειτος 84b *κάματός ἐστι τοῖς αὐτοῖς μ ο χ θ ε ῖ ν καὶ ἄρχεσθαι.* Πρβλ. *πονεῖν.*

**μοχθηρία.** Καχεξία/ἐλαττωματικότης, debility/deficiency, Δημόκριτος 187 *ψυχῆς μὲν γὰρ τελεότης σκήνεος μ ο χ θ η ρ ί η ν ὀρθοῖ, σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν.*

**μόχθος.** Μόχθος/κόπος, labour/toil, Δημόκριτος 223.2-3 *ὧν τὸ σκῆνος χρήζει, πᾶσι πάρεστιν εὐμαρέως ἄτερ μ ό χ θ ο υ καὶ ταλαιπωρίης· ὁκόσα δὲ μ ό χ θ ο υ καὶ ταλαιπωρίης χρήζει καὶ βίον ἀλγύνει, τούτων οὐκ ἱμείρεται τὸ σκῆνος, ἀλλ' ἡ τῆς γνώμης κακοθιγίη (?).* Πρβλ. *πόνος, κάματος.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ